# ARTEMON

## I

λάθρη παπταίνοντα παρὰ φλιὴν Ἐχέδημον
λάθριος ἀκρήβην τὸν χαρίεντ᾽ ἔκυσα,
δειμαίνων, καὶ γάρ μοι ἐνύπνιος ἦλθε †φαρέτρη
αιταιων καὶ δους ειχετ᾽† ἀλεκτρυόνας,
ἄλλοτε μειδιόων, ὁτὲ δ᾽ οὐ φίλος. ἀλλὰ μελισσέων
ἑσμοῦ καὶ κνίδης καὶ πυρὸς ἡψάμεθα.

## II

Λητοΐδη, σὺ μὲν ἔσχες ἁλίρρυτον αὐχένα Δήλου,
κοῦρε Διὸς μεγάλου, θέσφατα πᾶσι λέγων,
Κεκροπίαν δ᾽ Ἐχέδημος, ὁ δεύτερος Ἀτθίδι Φοῖβος,
ᾧ καλὸν ἁβροκόμης ἄνθος ἔλαμψεν Ἔρως.
ἡ δ᾽ ἀνὰ κῦμ᾽ ἄρξασα καὶ ἐν χθονὶ πατρὶς Ἀθήνη
νῦν κάλλει δούλην Ἑλλάδ᾽ ὑπηγάγετο.

# CARP(H)YLLIDES

## I

μὴ μέμψη παριὼν τὰ μνήματά μου, παροδῖτα·
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικός
συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,